# ΞΕΝΟΦΩΝΤΟΣ
## ΟΙΚΟΝΟΜΙΚΟΣ.

Ὁ Οἰκονομικὸς ἐπιγραφόμενος λόγος τοῦ Ξενοφῶντος, εἶνε συνέχεια τῶν Ἀπομνημονευμάτων, διδάσκει δὲ ἰδίως τὴν οἰκιακὴν τάξιν καὶ εὐημερίαν, καὶ μάλιστα τὴν καλὴν κυβέρνησιν τῶν ἀγροτικῶν κτημάτων· ἐθεωρήθη δὲ πάντοτε ὡς ἓν τῶν ἀρίστων συγγραμμάτων τοῦ Ξενοφῶντος, ὥςε καὶ ὁ Κικέρων αὐτὸς τὸ μετέφρασεν εἰς τὴν Λατινίδα.

### ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΗΚΟΥΣΑ δέ ποτε αὐτοῦ καὶ περὶ οἰκονομίας τοιάδε διαλεγομένου. Εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε[1], ἆρά γε ἡ οἰκονομία ἐπιστήμης τινὸς ὄνομά ἐςιν, ὥσπερ ἡ ἰατρικὴ καὶ χαλκευτικὴ καὶ ἡ τεκτονική; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Κριτόβουλος.—Ἦ καὶ ὥσπερ τούτων τῶν τεχνῶν ἔχοιμεν ἂν εἰπεῖν ὅ,τι ἔργον ἑκάστης, οὕτω καὶ τῆς οἰκονομίας δυναίμεθ' ἂν εἰπεῖν ὅ,τι ἔργον αὐτῆς ἐςί; Δοκεῖ γοῦν, ἔφη ὁ Κριτόβουλος, οἰκονόμου ἀγαθοῦ εἶναι εὖ οἰκεῖν[2] τὸν ἑαυτοῦ οἶκον. Ἦ καὶ τὸν ἄλλου δὲ οἶκον, ἔφη ὁ Σωκράτης, εἰ ἐπιτρέποι τις αὐτῷ, οὐκ ἂν δύναιτο, εἰ βούλοιτο, εὖ οἰκεῖν, ὥσπερ καὶ τὸν ἑαυτοῦ; ὁ μὲν γὰρ τεκτονικὴν ἐπιστάμενος ὁμοίως ἂν καὶ ἄλλῳ δύναιτο ἐργάζεσθαι ὅ τι περ καὶ ἑαυτῷ, καὶ ὁ οἰκονομικός γ' ἂν[3] ὡσαύτως. Ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. Ἔστιν ἄρα, ἔφη ὁ Σωκράτης, τὴν τέχνην ταύτην ἐπιςαμένῳ, καὶ εἰ μὴ αὐτὸς τύχοι χρήματα ἔχων, τὸν ἄλλου οἶκον οἰκονομοῦντα, ὥσπερ καὶ οἰκοδομοῦντα, μισθοφορεῖν; Νὴ Δία καὶ πολύν γε μισθόν, ἔφη ὁ Κριτόβουλος, φέροιτ' ἄν, εἰ δύναιτο οἶκον παραλαβὼν τελεῖν τε ὅσα δεῖ καὶ περιουσίαν ποιῶν αὔξειν τὸν οἶκον.—Οἶκος δὲ δὴ τί δοκεῖ ἡμῖν εἶναι; ἆρα ὅπερ οἰκία, ἢ καὶ ὅσα τις ἔξω τῆς οἰκίας ἐκέκτητο, πάντα τοῦ οἴκου ταῦτά ἐςιν; Ἔμοιγ' οὖν, ἔφη ὁ Κριτόβουλος, δοκεῖ, καὶ εἰ μηδ' ἐν τῇ αὐτῇ πόλει εἴη τῷ κεκτημένῳ, πάντα τοῦ οἴκου εἶναι, ὅσα τις κέκτηται.—Οὐκοῦν καὶ ἐχθροὺς κέκτηνταί τινες;—Νὴ Δία καὶ πολλούς γε ἔνιοι.—Ἦ καὶ κτήματα αὐτῶν φήσομεν εἶναι τοὺς ἐχθρούς; Γελοῖον μέν τ' ἂν εἴη, ἔφη ὁ Κριτόβουλος, εἰ ὁ τοὺς ἐχθροὺς αὔξων προσέτι καὶ μισθὸν τούτου φέροι. Ὅτι τοι[4] ἡμῖν ἐδόκει οἶκος ἀνδρὸς εἶναι ὅπερ κτῆσις. Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ὅτι γέ τις ἀγαθὸν κέκτηται· οὐ μὰ Δί' οὐκ[5] εἴ τι κακόν, τοῦτο κτῆμα ἐγὼ καλῶ.—Σὺ δ' ἔοικας τὰ ἑκάστῳ ὠφέλιμα κτήματα καλεῖν. Πάνυ μὲν οὖν, ἔφη· τὰ δέ γε βλάπτοντα ζημίαν ἔγωγε νομίζω μᾶλλον ἢ χρήματα.—Κἂν ἄρα γέ τις ἵππον πριάμενος μὴ ἐπίσταται αὐτῷ χρῆσθαι, ἀλλὰ καταπίπτων ἀπ' αὐτοῦ κακὰ λαμβάνῃ, οὐ χρήματα αὐτῷ ἐςιν ὁ ἵππος;—Οὐκ, εἴπερ τὰ χρήματά γ' ἐςὶν ἀγαθόν.—Οὐδ' ἄρα γε ἡ γῆ ἀνθρώπῳ ἐςὶ χρήματα, ὅστις οὕτως ἐργάζεται

1) Υἱὸς τοῦ Κρίτωνος πλουσιώτατος. 2) Διοικεῖν. 3) Δύναιτο ἐργάζεσθαι; 4) Βέβαια, ἐπειδὴ κτλ. 5) . . . Οὐ καλῶ.

НАРОДНА БИБЛИОТЕКА - ТЪРНОВО